A Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκε τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
Οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων, ὡς δεξιός ἐστιν.
Διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις,
Ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
B Ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
Φασὶ δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητής,
Παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
Μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας,
Πρότερον δ' ὑμᾶς οἱ πρέσβεις ἀπὸ τῶν πόλεων ἐξαπατῶντες,
C Πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν, κἀπειδὴ τοῦτό τις εἴποι,
Εὐθὺς διὰ τοὺς στεφάνους, ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε.
Εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας, λιπαρὰς καλέσειεν Ἀθήνας,
Εὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας,
D Ταῦτα ποιήσας, πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται.
Καὶ τοὺς δήμους ἐν ταῖς πόλεσι δείξας ὡς δημοκρατοῦνται,
Τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες (ριστον.
Ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄ-
Ὅστις παρεκινδύνευσεν Ἀθηναίοις εἰπεῖν τὰ δίκαια.
E Οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
Ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων πρεσβείαν βασανίζων,

A *Ex quo animum trygicis rite choris præceptor hic appulit æquum:*
*Nondum in scenam transiit: vt quàm præstans sit, dixerit vnquam.*
*Igitur ab inimicis apud instabiles traductus amicos*
*Quod populū atque vrbem insectetur, per pulpita comica ludo:*
B *Responso iam opus habet, apud vos præcipites consilij. Nam*
*Magna à vobis præmia dicit se promeritum esse Poëta,*
*Quòd præcauit, ne pollicita vos decipiant peregrina:*
*Neu vobis lubeat falli, & ciuibus oscitantibus esse.*
*Antè quidem legati sociorum vobis verba dederunt,*
C *Violis vos redimitos dicentes: atque isthoc vti quisquam*
*Dixisset: ibi tum propter violas, summis natibus vos*
*Sedebatis: sin palpando pingues dixisset Athenas,*
*Pro isthoc vno verbo magnum apuarum erat indeptus honorem.*
D *Hæc qui fecit, fuit omnis vestræ fortunæ vtilis autor,*
*Populúmque docuit populares moderarier vrbis habenas.*
*Equidem, qui tributum vobis pendunt, ex vrbibus istis,*
*Huc veniunt, studio visendi insignem pietate Poëtam:*
E *Qui, quæ æquissima sunt, cū vita & capitis discrimine dixit.* (*tur:*
*Adeò verò latè pro talibus ausis fama vaga-*
*Vt Rex Persarum, quando torquebat Lacedæmone missos,*

Σχόλια. Οὔπω παρέβη.] ἀντὶ τοῦ ἐν τῇ παραβάσει οὔπω εἶπε. Ταχυβούλοις.] ταχέως μεταβαλλομένοις, προπετέσιν, ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι. καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.

F Bisetvs. Ταχυβούλοις] Θουκυδίδης ἐν α. περὶ τῆς Ἀθηναίων φύσεως, καὶ τρόπων ταῦτα ἀξιομνημόνευτα γράφει. Οὐδ' ἐκλογίσασθαι πώποτε [δοκεῖτε] πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας, καὶ ὅσον ὑμῶν, καὶ ὡς πᾶν διαφέροντας ὁ ἀγὼν ἔσται. Οἱ μέν γε, νεωτεροποιοί, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν. ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν, καὶ ἐπιγνῶναι μηδέν, καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι. αὖθις δέ, οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταί, καὶ παρὰ γνώμην κινδυνευταί, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες.

G Σχόλια. Ξενικοῖσι λόγοις.] ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν. ὅτι ἀνοίκειον Ἕλλησι τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Χαυνοπολίτας.] κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν. Ἰοστεφάνους.] παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων. αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι. διασύρει δὲ ἄλλως, ὅτι οἱ προσδόται τούτοις χρῶνται τοῖς λόγοις. Ἐπ' ἄκρων τῶν πυγιδίων.] παρὰ τὴν παροιμίαν. ἐπ' ἄκρων τῶν ὀνύχων. οἱ γὰρ ἡδέως τι ἀκούοντες, δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. ἄλλως. παρὰ τὴν παροιμίαν τὸ ἐπ' ἄκρων τῶν ὀνύχων, ἔπαιξεν οὗτος ἐπ' ἄκρων τῶν πυγιδίων εἰπών. καὶ Σοφοκλῆς. εἶπου τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο, ὑψηλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις. εἰώθασι γὰρ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν. καὶ οἱ ἐπαίνων εἰς ἑαυτοὺς γινομένων ἀκούοντες, τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν. Ὑποθωπεύσας] κολακεύσας. παρὰ τὸ λιπαρὰς Ἀθήνας, τὸ λιπαρὰς ἀφύας. Εὕρετο πᾶν ἄν.] ἀντὶ τοῦ πᾶν πρᾶγμα κατορθοῖ. Ἀφύων τιμήν.] καὶ ἑνικῶς λέγεται ὡς ἐν Ταγηνισταῖς. ἅλις ἀφύης μοι, παρατέταμαι γὰρ ἐσθίων. Καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν.] ἀντὶ τοῦ τὴν ἡμῶν αὐτῶν πολιτείαν, ἐπιδείξας ταῖς συμμάχοις πόλεσι. τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, εὔνους ὑμῖν αὐτοὺς ἐποίησεν. ἄλλως. ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται καὶ ἄνευ τυραννίδος ἀλλήλοις πειθόμενοι. Βασιλεὺς] ὁ μέγας Περσῶν. Βασανίζων.] ἀκριβῶς ἐξετάζων.